A ἀλλὰ καὶ τοὺς τῶν ἄλλων, πῶς ἀναβαίνουσιν· ἀπὸ γὰρ τῶν ὁμοίων τὰ ὅμοια γίγνεσθαι πέφυκεν. ἔτι δὲ, περὶ φυλακῆς τῆς χώρας μὴ λανθάνειν, πῶς φυλάττεται, ἀλλὰ καὶ τὸ πλῆθος εἰδέναι τῆς φυλακῆς, καὶ τὸ εἶδος, καὶ τοὺς τόπους τῶν φυλακτηρίων. τοῦτο δ' ἀδύνατον, μὴ ἔμπειρον ὄντα τῆς χώρας· ἵν' εἴτ' ἐλάττων ἡ φυλακὴ, προστεθῇ· καὶ εἴ τις περίεργος, ἀφαιρεθῇ· καὶ τοὺς ἐπιτηδείους τόπους τηρῶσι μᾶλλον. B ἔτι δὲ, περὶ τροφῆς, πόση δαπάνη ἱκανὴ τῇ πόλει, καὶ ποία ἡ αὐτοῦ τε γιγνομένη καὶ εἰσαγώγιμος· καὶ τίνων τ' ἐξαγωγῆς δέονται καὶ τίνων εἰσαγωγῆς· ἵνα πρὸς τούτους καὶ συμβολαὶ καὶ συνθῆκαι γίγνωνται· πρὸς δύο γὰρ διαφυλάττειν ἀναγκαῖον ἀνεγκλήτους τοὺς πολίτας, πρός τε τοὺς κρείττους, καὶ πρὸς τοὺς εἰς ταῦτα χρησίμους. C εἰς δ' ἀσφάλειαν, ἅπαντα μὲν ταῦτα ἀναγκαῖον δύνασθαι θεωρεῖν· οὐκ ἐλάχιστον δὲ περὶ νομοθεσίας ἐπαΐειν· ἐν γὰρ τοῖς νόμοις ἐστὶν ἡ σωτηρία τῆς πόλεως. ὥστ' ἀναγκαῖον εἰδέναι, πόσα τέ ἐστι πολιτειῶν εἴδη, καὶ ποῖα συμφέρει ἑκάστῃ, καὶ ὑπὸ τίνων φθείρεσθαι πέφυκε, καὶ οἰκείων τῆς πολιτείας καὶ ἐναντίων. λέγω δὲ τὸ ὑπὸ οἰκείων φθείρεσθαι, ὅτι ἔξω τῆς βελτίστης πολιτείας, αἱ ἄλλαι πᾶσαι καὶ ἀνιέμεναι D καὶ ἐπιτεινόμεναι, φθείρονται· οἷον, δημοκρατία, οὐ μόνον ἀνιεμένη, ἀσθενεστέρα γίνεται, ὥστε τέλος ἥξει εἰς ὀλιγαρχίαν, ἀλλὰ καὶ ἐπιτεινομένη σφόδρα· ὥσπερ καὶ ἡ γρυπότης καὶ ἡ σιμότης, οὐ μόνον ἀνιέμενα ἔρχεται εἰς τὸ μέσον, ἀλλὰ καὶ σφόδρα γρυπὰ γινόμενα, ἢ σιμὰ, οὕτω διατίθεται τὴν ῥῖνα, ὥστε μηδὲ μυκτῆρα δοκεῖν εἶναι. χρήσιμον δὲ πρὸς τὰς νομοθεσίας, τὸ μὴ μόνον ἐπαΐειν, τίς πολιτεία E συμφέρει, ἐκ τῶν παρεληλυθότων θεωροῦντι, ἀλλὰ καὶ τὰς παρὰ τοῖς ἄλλοις εἰδέναι, αἱ ποῖαι τοῖς ποίοις ἁρμόττουσιν. ὥστε δῆλον ὅτι, πρὸς μὲν τὴν νομοθεσίαν αἱ τῆς γῆς περίοδοι χρήσιμοι· ἐντεῦθεν γὰρ λαβεῖν ἐστὶ τοὺς τῶν ἐθνῶν νόμους· πρὸς δὲ τὰς πολιτικὰς συμβουλὰς, τὰς τῶν περὶ τὰς πράξεις γραφόντων ἱστορίας· ἅπαντα δὲ ταῦτα, πολιτικῆς, F ἀλλ' οὐ ῥητορικῆς ἔργον ἐστί. περὶ ὧν μὲν οὖν ἔχειν δεῖ τὸν μέλλοντα συμβουλεύειν τὰ μέγιστα, τοσαῦτά ἐστι. ἐξ ὧν δὲ δεῖ, καὶ περὶ τούτων, καὶ περὶ τῶν ἄλλων προτρέπειν ἢ ἀποτρέπειν, λέγωμεν πάλιν.

A etiam aliorum, quem euentum habuerint. Namvt ex similibus fiant, similia naturam habent. Præterea verò de custodia regionis non latere, quomodo custodiatur: sed & multitudinem scire custodiæ: & formam: & loca præsidiorum. Hoc autem esse non potest, nisi quis sit peritus regionis, vt si minor sit custodia, augeatur, & si qua sit superuacanea, tollatur, & opportuna loca seruentur magis. B Cùm de re cibaria quantus sumptus sit satis ciuitati, & quanta sit ea, quæ ibi nascitur, & ea, quæ importatur, & quarum rerum exportatione indigeant, & quarum importatione, vt cum iis, qui ad has sunt vtiles, conuentiones & pactiones fiant. Apud duo enim hominũ genera custodire necesse est culpa carentes ciues, tum apud potentiores, tum apud eos, qui ad has res vtiles sunt. Ad securitatem autem omnia quidem hæc necesse est posse perspicere: sed non minimum est C legumlationem intelligere. In legibus enim consistit salus ciuitatis. Quare necessarium est scire, quot sint Rerumpub. formæ, & quæ prosint cuique, & à quibus vt corrumpantur, naturam habeant, tum propriis ciuitatis, tum contrariis. Dico autem à propriis corrumpi, quia præter optimam Rempub. aliæ omnes tum si remittantur, tum si intendantur, corrumpuntur: quemadmodum Democratia non solùm si re- D mittatur, debilior fit, vt tandem perueniat ad Oligarchiam, sed etiam si intendatur nimis, vt & grypitas, & simitas, non solum si remittantur, perueniunt ad medium, sed etiam si nimis grypa fiant, vel sima, ita disponunt, vt ne nares quidem videantur esse. Vtile verò est ad legumlationes, non solum intelligere, quæ Reipub. prosit, cùm ex præteritis aliquis contemplatur, sed etiam quæ sunt apud alios, scire, quales E qualibus congruant. Quare manifestum est, ad legumlationem terræ peregrinationes vtiles esse. Hinc enim accipere licet gentium leges: ad ciuiles verò deliberationes, eorum, qui de actionibus scribunt, historias. Omnia autem hæc Politicæ, sed non Rhetoricæ munus sunt. Ac quæ quidem tenere oportet eum, qui deliberaturus est, maxima, tam multa sunt. Ex quibus verò oporteat tum de his, tum F de aliis suadere, aut dissuadere, dicamus rursus.